# Παράκληση εις την Οσία Μεθοδία της Κιμώλου



Εὐλογήσαντος τοῦ ἱερέως ἀρχόμεθα ἀναγινώσκοντες τον ΡΜΒ’ (142) Ψαλμόν.
Κύριε εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ Σου, εἰσάκουσον μου ἐν τῇ δικαιοσύνῃ Σου καὶ μὴ εἰσέλθης εἰς κρίσιν μετά τοῦ δούλου Σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν Σου, πᾶς ζῶν. Ὅτι κατεδίωξεν ὁ ἐχθρός τὴν ψυχήν μου, ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου. Ἐκάθισέ με ἐν σκοτεινοῖς, ὡς νεκρούς αἰῶνος καὶ ἠκηδίασεν ἐπ’ ἐμέ τό πνεῦμα μου, ἐν ἐμοί ἐταράχθη ἡ καρδία μου. Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις Σου, ἐν ποιήμασι τῶν χειρῶν Σου ἐμελέτων. Διεπέτασα πρός Σέ τάς χείρας μου, ἡ ψυχή μου ὡς γῆ ἄνυδρός Σοι. Ταχύ εἰσάκουσόν μου, Κύριε, ἐξέλιπε τό πνεῦμα μου. Μὴ ἀποστρέψης τό πρόσωπόν Σου ἀπ’ ἐμοῦ καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον. Ἀκουστὸν ποίησόν μου τό πρωΐ τό ἔλεός Σου, ὅτι ἐπὶ Σοί ἤλπισα. Γνώρισόν μοι, Κύριε, ὁδόν ἐν ᾗ πορεύσομαι, ὅτι πρός Σέ ἦρα τὴν ψυχήν μου. Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, Κύριε, πρός Σέ κατέφυγον, δίδαξόν με τοῦ ποιεῖν τό θέλημά Σου, ὅτι Σύ εἶ ὁ Θεός μου. Τό Πνεῦμα Σου τό ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ, ἕνεκεν τοῦ ὀνόματός Σου, Κύριε, ζήσεις με. Ἐν τῇ δικαιοσύνῃ Σου ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου καὶ ἐν τῷ ἐλέει Σου ἐξολοθρεύσεις τούς ἐχθρούς μου. Καί ἀπολεῖς πάντας τούς θλίβοντας τὴν ψυχήν μου, ὅτι ἐγώ δοῦλος Σου εἰμί.

Θεός Κύριος καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.
Στίχος ἅ΄. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, καί ἐπικαλεῖσθε τό ὄνομα τό ἅγιον αὐτοῦ.

Θεός Κύριος καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.
Στίχ. β'. Πάντα τὰ ἔθνη ἐκύκλωσάν με καὶ τό ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.
Θεός Κύριος καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.
Στίχ. γ'. Παρά Κυρίου ἐγένετο αὕτη καὶ ἔστι θαυμαστή ἐν ὀφθαλμοῖς ἡμῶν.
Θεός Κύριος καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Εἶτα τὰ παρόντα Τροπάρια˙

Ἦχος δ΄. Ὁ ὑψωθείς ἐν τῷ Σταυρῷ.
Ἐν τοῖς ἐσχάτοις τὸν ἰσάγγελον βίον, θεοπρεπῶς πολιτευθεῖσα ‘Οσία, ἐν τῇ Κιμώλῳ ἤστραψας ὡς ἥλιος λαμπρός. Ὅθεν τῆς σῆς χάριτος, ταῖς παμφώτοις ἀκτῖσι, Μεθοδία φώτισον τὴν ζοφώδην ψυχήν μου, ἵνα ὑμνῷ ἀεὶ σὲ πρεπωδῶς, ὡς τῶν ᾿Ὁσίων τερπνὸν ἐγκαλλώπισμα.

Δόξα. Το αὐτό. Καὶ νῦν. Θεοτοκίον.
Οὐ σιωπήσομέν ποτέ, Θεοτόκε, τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι, εἰ μὴ γὰρ σὺ προΐστασο, πρεσβεύουσα, τίς ἡμᾶς ἐῤῥύσατο ἐκ τοσούτων κινδύνων; Τίς δὲ διεφύλαξεν, ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν Δέσποινα ἐκ σοῦ, σοὺς γὰρ δούλους σῴζεις ἀεί, ἐκ παντοίων δεινῶν.

Ὁ Ν΄ (50) Ψαλμός.
Ἐλέησόν με, ὁ Θεός, κατά τό μέγα ἔλεός Σου καί κατά τό πλῆθος τῶν οἰκτιρμῶν Σου, ἐξάλειψον τό ἀνόμημά μου. Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καί ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με. Ὅτι τήν ἀνομίαν μου ἐγώ γινώσκω καί ἡ ἁμαρτία μου ἐνώπιόν μου ἐστι διά παντός. Σοί μόνῳ ἥμαρτον καί τό πονηρόν ἐνώπιόν Σου ἐποίησα, ὅπως ἄν δικαιωθῇς ἐν τοῖς λόγοις Σου καί νικήσῃς ἐν τῷ κρίνεσθαί Σε. Ἰδοὺ γάρ ἐν ἀνομίαις συνελήφθην καί ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου. Ἰδοὺ γάρ ἀλήθειαν ἠγάπησας, τὰ ἄδηλα καί τὰ κρύφια τῆς σοφίας Σου ἐδήλωσάς μοι. Ῥαντιεῖς με ὑσσώπῳ καί καθαρισθήσομαι, πλυνεῖς με καί ὑπέρ χιόνα λευκανθήσομαι. Ἀκουτιεῖς μοι ἀγαλλίασιν καί εὐφροσύνην, ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα. Ἀπόστρεψον τό πρόσωπόν Σου ἀπὸ τῶν ἁμαρτιῶν μου καί πάσας τάς ἀνομίας μου ἐξάλειψον. Καρδίαν καθαράν κτίσον ἐν ἐμοί ὁ Θεός καί πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου. Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου Σου καί τό Πνεῦμα Σου τό Ἅγιον μὴ ἀντανέλῃς ἀπ' ἐμοῦ. Ἀπόδος μοι τήν ἀγαλλίασιν τοῦ σωτηρίου Σου καί πνεύματι ἡγεμονικῷ στήριξόν με. Διδάξω ἀνόμους τάς ὁδούς Σου καί ἀσεβεῖς ἐπὶ σέ ἐπιστρέψουσιν. Ῥῦσαι με ἐξ αἱμάτων ὁ Θεός, ὁ Θεός τῆς σωτηρίας μου, ἀγαλλιάσεται ἡ γλῶσσα μου τήν δικαιοσύνην Σου. Κύριε, τὰ χείλη μου ἀνοίξεις

καί τό στόμα μου ἀναγγελεῖ τήν αἴνεσίν Σου. Ὅτι, εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν, ὁλοκαυτώματα οὐκ εὐδοκήσεις. Θυσίᾳ τῷ Θεῷ πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καί τεταπεινωμένην ὁ Θεός οὐκ ἐξουδενώσει. Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ Σου τήν Σιών καί οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ. Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καί ὁλοκαυτώματα. Τότε ἀνοίσουσιν ἐπὶ τό θυσιαστήριόν Σου μόσχους.

καὶ ὁ Κανὼν τῆς Οσίας φέρων ἀκροστιχίδα
τήνδε: «Μεθοδία πρόσδεξαι τὴν δέησίν μου. Κ.Ι.ΑΓ.».

Ὠδή α´. Ἦχος πλ. δ´. Ὑγρὰν διοδεύσας.
Μεγίστης εὐκλείας ἐν οὐρανοῖς, σεμνὴ Μεθοδία, ἠξιώθης παρὰ Χριστοῦ, ᾧ πρέσβευε νῦν δεόμεθα σου, ὑπὲρ ἡμῶν εὐλαβῶς προστρεχόντων σοι.

Εὑροῦσα τὴν ἄβυσσον τῆς ζωῆς, Μῆτερ Μεθοδία, ὡς βιώσασα θαυμαστῶς, ζωῆς μου τῆς θείας τὰς εἰσόδους, τῇ ἱερᾷ σου πρεσβείᾳ ὑπάνοιξον.

Θεῷ ὃν ἐδόξασας ἐπὶ γῆς, νῦν παρισταμένη, Μεθοδία ἐν οὐρανοῖς, ἐξαίτει ἡμῖν πταισμάτων λύσιν, τοῖς εὐφημοῦσι τὸν ἔνθεον βΐον σου.

Θεοτοκίον.
᾿Οργῆς τε κακώσεως καὶ λοιμοῦ, ρῦσαι Θεοτόκε, τοὺς ἱκέτας σου συμπαθῶς, καὶ δαίνειν τὰς τρίβους τοῦ Κυρίου, ἡμᾶς ταῖς σαῖς ἱκεσίαις ἐνίσχυσον.

Ὠδή γ´. Οὐρανίας ἁψῖδος.
Δωρεῶν οὐρανίων, ὑπερφυῶς ἔτυχες, ἐν τῷ αἰωνίῳ νυμφῶνι, ὁσίως ζήσασα· ὅθεν οὐράνωσον, τὴν γεωθεῖσαν ψυχήν μου. Μεθοδία ἔνδοξε, πιστῶν τὸ καύχημα..

Ἱλαρὸν δός μοι τρόπον, καὶ λογισμὸν ἄδολον, τῇ σοὶ οὐρανόθεν δοθείσῃ, Οσία χάριτι· σὺ γὰρ ἐμπρέψασα, ἐν ἱλαρότητι τρόπων, εὗρες είς κατοίκησιν, σκηνὴν τὴν ἄφθαρτον.

Απὸ πάσης ἀνάγκης, καὶ συμφορᾶς λύτρωσαι, τοὺς πανευλαβῶς προσιόντας, τῇ ἀντιλήψει σου, καὶ εὐφημούντάς σε, ἐν Θεολήπτῳ καρδίᾳ, Μεθοδία ἔνδοξε, Ὁσίων καύχημα.

Θεοτοκίον.
Παραδείσου τὰς πύλας, σῷ τοκετῷ ἤνοιξας, πρώην κεκλεισμένας ἀπάτῃ, τοῦ πολεμήτορος, καὶ ἀνεκαίνισας, τὴν τῶν ἀνθρώπων οὐσίαν. "Ὅθεν κατὰ χρέος

σε, Μῆτερ γεραίρομεν.

Διάσωσον τὸ τῆς Κιμώλου ἀγλάϊσμα Μεθοδία, ἐκ συμπτωμάτων ψυχοβλαβῶν τοὺς ἱκέτας σον, τοὺς τῇ σεπτῇ σου προσπίπτοντας ἀντιλήψει.

Ἐπίβλεψον, ἐν εὐμενείᾳ, πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι, τῆς ψυχῆς μου τὸ ἄλγος.

Αἴτησις καὶ τὸ Κάθισμα.
Ἦχος β΄. Πρεσβεῖα θερμῆ.
Πρεσβείᾳ τῇ σῇ, ὦ Μεθοδία ἔνδοξε, Χριστὸν τὸν Θεόν, ἀπαύστως καθικέτευε, τοῖς πιστῶς τιμῶσι σε, τῆς εἰρήνης τὴν χάριν δωρήσασθαι· τὴν παρρησίαν ἔχεις γὰρ πολλήν, αὐτὸν ἐν ἀσκήσει μεγαλύνασα.

ᾨδή δ΄. Εἰσακήκοα Κύριε.
Ῥυπωθεῖσαν τοῖς πταίσμασι, τὴν ψυχήν μου δέομαι ἀποκάθαρον, τῆς σῆς χάριτος τῷ ὕδατι, Μεθοδία Ὁσία παγγέραστε.

Ὁλοτρόπως προστρέχω σοι, Μῆτερ Μεθοδία καὶ ἀνακράζω σοι, τῷ Κυρίῳ με οἰκείωσον, διὰ βίου ἀμέμπτου καὶ σώφρονος.

Σὲ Χριστὸς ἐθαυμάστωσεν, Μῆτερ Μεθοδία ἀξιοθαύμαστε, καὶ θαυμάτων σε ἀνέδειξεν, ἀνεξάντλητον κρήνην τοῖς πάσχουσι.

Θεοτοκίον.
Δυναστεύει με Δέσποινα, ὃ τῆς πονηρίας ἄρχων ὁ δόλιος· σὺ οὖν πρόφθασον καὶ σῶσον με. πρὶν εἰς τέλος ἀθλίως ἀπόλωμαι.

ᾨδή ε΄. Φώτισον ἡμᾶς.
Ἔχουσα πολλήν, παρρησίαν πρὸς τὸν Κύριον, Μεθοδία τῶν Ὁσίων καλλονή, τὴν ἐν βίῳ εὐπραγίαν ἡμῖν δώρησαι.

Ξένωσον τὸν νοῦν, Μεθοδία τοῦ ἱκέτου σου, ἐννοιῶν καὶ νοημάτων πονηρῶν, τῶν ἑλκόντων ἁμαρτίας με εἰς βάραθρα.

Ἄνωθεν ἡμᾶς, Μεθοδία διαφύλαττε, καὶ ἐπόπτευε τὴν Νῆσον σου ἀεί, εὐλαβῶς ἀνακειμένην τῇ πρεσβείᾳ σου.

Θεοτοκίον.
Ἵλεων ἡμῖν, τῇ πρεσβείᾳ σου ἀπέργασαι, Θεονύμφευτε Παρθένε Μαριάμ. ὃν

ἐκύησας ἁγίων ἐξ αἱμάτων σου.

Ὠδή ς΄. Τὴν δέησιν.
Τὴν δέησιν Μεθοδία πρόσδεξαι, ἣν προσάγω σοι ψυχῇ κατωδύνῳ, καὶ ἐπικάμφθητι Μητερ Ὁσία, τῇ ἐκ καρδίας φωνῇ τοῦ ἱκέτου σου σὺ γὰρ ὑπάρχεις εὐμενής. τοῖς ἐν πίστει θερμῇ προσιοῦσί σοι.

Ἡ Κίμωλος ἡ πατρίς σοι· γάνυται, τοῖς σπαργάνοις σὸν σεμνὴ Μεθοδία, καὶ τὰ σὰ λείψανα πίστει τιμῶσα, τῆς σῆς εὐνοίας λαμβάνει τὰς χάριτας, δοξάζουσα χρεωστικῶς, τὸν Χριστὸν θαυμαστῶς σὲ δοξάσαντα.

Νεόφωτος ἀνεδείχθης ἔνδοξε, τοῦ Χριστοῦ τῇ ἐκκλησίᾳ λυχνίᾳ, καὶ ἐφαπλοῖς πανταχοῦ Μεθοδία. τῶν ἀρετῶν μυστικῶς τὴν λαμπρότητα, καὶ ἐκδιώκεις θαυμαστῶς, ἁμαρτίας τὴν νύκτα τὴν ἄφεγγον.

Θεοτοκίον.
Δεσμῶν με τῆς ἁμαρτίας λύτρωσαι, καὶ ἐλεύθερον παράστησον Κόρη, τῷ ἀδεκάστῳ κριτῇ καὶ Υἱῷ σου, ἐν τῇ ἡμέρᾳ ἐκείνῃ τῆς κρίσεως· σὲ γὰρ οὐ παύομαι ὑμνεῖν, ἐν νυκτὶ καὶ ἡμέρᾳ ὁ δοῦλος σου.

Διάσωσον τὸ τῆς Κιμώλου ἀγλάϊσμα Μεθοδία, ἐκ συμπτωμάτων ψυχοβλαβῶν τοὺς ἱκέτας σου. τοὺς τῇ σεπτῇ σου προσπίπτοντας ἀντιλήψει.

Ἄχραντε, ἣ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ᾽ ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

Αἴτησις καὶ τὸ Κοντάκιον.
Ἦχος β΄. Τοῖς τῶν αἱμάτων σου.
Τῇ βιοτῇ τῶν Ὁσίων στοιχήσασα, ἀσκητικῶς ἐν ἐσχάτοις διέπρεψας, σεμνὴ Μεθοδία καὶ ἤσχυνας, τὸν παλαμναῖον ἐχθρὸν οὗ τῆς μήνιδος. ἡμᾶς ἀνωτέρους συντήρησον.

Προκείμενον.
Ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχέ μοι.
Στίχ. Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μον καὶ κατεύθῆνε τὰ διαδήματά μου.

Εὐαγγέλιον. Ἐκ τοῦ κατὰ Μάρκον. (Κεφ. ε΄. 24-34).
Τῷ καιρῷ ἐκείνῳ ἠκολούθει τῷ ᾽Ιησοῦ ὄχλος πολὺς καὶ συνέθλιβον αὐτόν. Καὶ γυνή τις, οὖσα ἐν ρύσει αἵματος ἔτη δώδεκα, καὶ πολλὰ παθοῦσα ὑπὸ πολλῶν ἰατρῶν. καὶ μηδὲν ὠφεληθεῖσα, ἀλλὰ μᾶλλον εἰς τὸ χεῖρον ἐλθοῦσα, ἀκούσασα

περὶ τοῦ ᾿Ιησοῦ, ἐλθοῦσα ἐν τῷ ὄχλῳ ὄπισθεν. ἥψατο τοῦ ἱματίου αὐτοῦ· ἔλεγε γάρ· ὅτι, κἂν τῶν ἱματίων αὐτοῦ ἅψωμαι σωθήσομαι. Καὶ εὐθέως ὁ ᾿Ιησοῦς ἐπιγνοὺς ἐν ἑαυτῷ τὴν ἐξ αὗτοῦ δύναμιν ἐξελθοῦσαν, ἐπιστραφεὶς ἕν τῷ όχλῳ, ἔλεγεν· Τίς μου ἥψατο τῶν ἱματίων; Καὶ ἔλεγον αὐτῷ οἱ Μαθηταὶ αὐτοῦ· Βλέπεις τὸν ὄχλον συνθλίβοντά σε, καὶ λέγεις: Τίς μου ἥψατο; Καὶ περιεθλέπετο ἰδεῖν τὴν τοῦτο ποιήσασαν. Ἢ δὲ γυνὴ φοβηθεῖσα καὶ τρέμουσα, εἰδυῖα ὃ γέγονεν ἐπ᾿ αὐτῇ, ἦλθε καὶ προσέπεσεν αὗτῷ, καὶ εἶπεν αὐτῷ πᾶσαν τὴν ἀλήθειαν. Ὁ δὲ εἶπεν αὐτῇ θύγατερ, ἣ πίστις σου σέσωκέ σε; ὕπαγε εἰς εἰρήνην. καὶ ἴσθι ἡγιὴς ἀπὸ τῆς μάστιγός σου.

Δόξα.
Ταῖς τῆς σῆς ‘Οσίας πρεσβείαις Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

Καὶ νῦν.
Ταῖς τῆς Θεοτόκου πρεσβείαις Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

Στίχ. ᾿Ελέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου...
Προσόμοιον.
Ἦχος πλ. β΄. Ὂλην ἀποθέμενοι.
Βίον τὸν οὐράνιον, θεοπρεπῶς μετελθοῦσα, τῆς ζωῆς τὸν στέφανον, παρὰ τοῦ Παντάνακτος, σεμνὴ ἔλαθες· καὶ νῦν τοῖς τάγμασι, τῶν πᾶλαι Ὁσίων, ἐν ὕψίστοις συγχορεύουσα, ἡμῶν μνημόνευε, τῶν ἀπὸ ψυχῆς ἀνυμνούντων σε, καὶ ρῦσαι τοὺς ἱκέτας σου, πόνῶν ἐπωδύνων καὶ θλίψεων, Μήτερ Μεθοδία, Κιμώλου ὁ πανάγιος βλαστός, μοναστριῶν τὸ ἀγλάϊσμα, καὶ πιστῶν τὸ καύχημα.

Σῶσον ὁ Θεὸς τὸν λαόν σου...

Ὠδή ζ΄. Παῖδες Ἑβραίων.
Ἔχουσα χάριν Μεθοδία, ἀπελαύνειν ἐξ ἀνθρώπῶν ἀρρωστίας, ἀσθενοῦντα κἀμέ, τὸν δύστηνον κατ’ ἄμφω, ἰάτρευσον πανεύφημε, χάριτός σου τῷ μαρμάκῳ.

Ἤρθης πρὸς ὕψος ἀπαθείας, τῇ ἁγίᾳ σου ἀσκήσει Μεθοδία· διὸ νῦν τῶν παθῶν. τῶν κατ᾿ ἐμοῦ τὸν σάλον, κατεύνασον πρεσβείας σου, ἱκετεύῳ τῇ δυνάμει.

Στήριξον πάντας τοὺς τιμώντας, τῶν λειψάνων τὴν κόνιν Μεθοδία. ἐν τῇ πέτρᾳ Χριστοῦ, τῶν θείων προσταγμάτων, ἵνα σε μακαρίζομεν, εὐλαβῶς ἐν

ἐγκωσμίοις. |

Θεοτοκίον.
Ἵλαθι Δέσποτα εὐσπλάγχνως, ἡμῖν πταίσμασι πολλοῖς δεδαρυμένοις ταῖς ἁγίαις πρὸς σέ, πρεσβείαις τῆς πανάγνου. τῆς θαυμαστῶς τεκούσης, δι᾽ ἡμᾶς σωματοφόρον.

ᾨδή η´. Τὸν Βασιλέα.
Νέαν ζωήν μοι, δώρησον Μῆτερ Ὀσία, ἐξαλείφουσα τὰ πλήθη τῶν κακῶν μου, ταῖς πρὸς τὸν Σωτῆρα, λιταῖς σου Μεθοδία.

Μὴ καταισχύνης, ὦ Μεθοδία ‘Οσία, τοὺς ἐλπίζοντας τῇ θείᾳ σου πρεσβείᾳ, καὶ ἀνευφημούντας, τὴν ξένην θβιοτήν σου.

Ὅλον με πλῆσον, τῆς ἱερᾶς χάριτός σου, παμμακάριστε Ὀσία Μεθοδία, προσπίπτοντα πόθῳ, τῇ θείᾳ σου εἰκόνι.

Θεοτοκίον.
“Υμνοις τιμῶμεν, τὸν φωτοφόρον σε οἶκον, ἐν ᾧ ᾤκησεν ὁ Κύριος τῆς δόξης. ἐπ᾽ εὐεργεσίαν, Παρθένε τῶν ἀνθρώπων.

ᾨδή θ´. Κυρίως Θεοτόκον.
Κινδύνων πολυτρόπων, Μῆτερ Μεθοδία, καὶ συμφορῶν ἐπωδύνων διάσωσον. τοὺς εὐφημούντας ἐν ὕμνοις, τὴν πολιτείαν σου.

Ἱλάσθητι μοι Λόγε, τῷ ἡμαρτηκότι, γενοῦ τῷ δούλῳ σου Κύριε ἵλεως. ταῖς παναγίαις πρεσβείαις, τῆς θεραπαίνης σου.

Ἀπάσης Μεθοδία, Μῆτερ πανοσία, ρῦσαι ἡμᾶς ἀπειλῆς τε καὶ μάστιγος. ὡς παρρησίαν πλουτοῦσα, πρὸς τὸν Φιλάνθρωπον.

Θεοτοκίον.
Γενοῦ μοι Θεοτόκε, τῷ ἀπεγνωσμένῳ, ὡς συμπαθὴς ἀκαταίσχυντος σύμμαχος· εἰς σὲ γὰρ μόνην ἐλπίζω, τὴν ὑπερύμνητον.

Ἄξιον ἐστιν ὡς ἀληθῶς, μακαρίζειν Σε τήν Θεοτόκον, τήν ἀειμακάριστον καί παναμώμητον καί μητέρα τοῦ Θεοῦ ἡμῶν. Τήν τιμιωτέραν τῶν Χερουβείμ καί ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ· τήν ἀδιαφθόρως Θεόν Λόγον τεκοῦσαν, τήν ὄντως Θεοτόκον Σέ μεγαλύνομεν.

Καὶ τὰ παρόντα Μεγαλυνάρια,
Χαίροις τῶν Ὁσίων ἡ κοινωνός, ἐν ἐσχάτοις χρόνοις, Μεθοδία Μῆτερ σεμνή· χαίροις ἣ τὸν πλάνον, αἰσχύνασα δυνάστην. ἀσκήσεως τὸν δρόμον, λαμπρῶς τελέσασα.

Ἔργοις ἐναρέτοις ὡς ἀληθῶς, Μῆτερ κοσμηθεῖσα, κόσμος ὤφθης πανευπρεπής, ἐν καιροῖς ὑστέροις, Χριστοῦ τῆς ἐκκλησίας· διό σε Μεθοδία, πάντες γεραίρομεν.

Χαίροις τῆς Κιμώλου θεῖος ὀβλαστός, Μῆτερ Μεθοδία, καὶ Κυκλάδων κλέος λαμπρόν· χαίροις τὸ εὐῶδες τῆς ἐγκρατείας ἄνθος, καὶ ῥόδον ἥσυχίας, ὄντως μυρίπνοον.

Βίον μετελθοῦσα θεοφιλῆ, Μῆτερ Μεθοδία, ἐν Κιμώλῳ ὡς νουνεχής, τῆς ζωῆς τῆς θείας, κατέλαβες τὸν ὅρμον, ἔνθα αἱ τῶν ‘Οσίων, τάξεις ἀγάλλονται.

Τὴν ἐνεγχαμένην σε ἐξ ἐχθρῶν, ρῦσαι καὶ κινδύνων, Μεθοδία ταῖς σαῖς λιταῖς: σκέπε δὲ τῇ σχέπῃ, ἀπαύστως τῶν εὐχῶν σου, τοὺς πόθῳ εὐφημοῦντας, τὴν πολιτείαν σου.

Τῆς θεολογίας τὸν ἀρχηγόν. καὶ μύστην τοῦ Λόγου, ᾿Ιωάννην τὸν θαυμαστόν, σὺν τῇ Μεθοδίᾳ, Κυρίου τῇ ῾Οσίᾳ, τῶν Κιμωλίων δῆμοι, δεῦτε τιμήσωμεν.

Χαίροις ἐπιστήθιε Μαθητά, ὃ ἠγαπημένος, τῷ Δεσπότῃ ἡμῶν Χριστῷ, σὺν τῇ Μεθοδίᾳ, αὐτὸν ἀεὶ δυσώπει, τὴν λύσιν· τῶν πταισμάτων, ἡμῖν δωρήσασθαι.

“῞Οσιε ᾿Ανδρέα Κρήτης ποιμήν, σὺν τῇ Μεθοδίᾳ, ἐκδυσώπει τὸν Λυτρωτήν, ὑπὲρ τῶν θελόντων, ἀκαταγνώστως τρέχειν, τοῦ δίου τοῦ παρόντος, χρόνον τὸν ρέοντα.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι Πάντες μετά τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν εἰς τό σωθῆναι ἡμᾶς.

Τὸ Τρισάγιον
Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς. (Τρίς).
Δόξα Πατρί, καί Υἱῶ, καί ἁγίῳ Πνεύματι,
καί νῦν, καί ἀεί, καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Παναγία Τριάς, ἐλέησον ἡμᾶς· Κύριε, ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν. Δέσποτα, συγχώρησον τάς ἀνομίας ἡμῖν· Ἅγιε, ἐπίσκεψαι καί ἴασαι τάς ἀσθενείας ἡμῶν,

ἕνεκεν τοῦ ὀνόματός σου.

Κύριε, ἐλέησον· Κύριε, ἐλέησον· Κύριε, ἐλέησον.
Δόξα Πατρί…

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τό ὄνομά σου· ἐλθέτω ἡ βασιλεία σου· γενηθήτω τό θέλημά σου, ὡς ἐν οὐρανῷ, καί ἐπί τῆς γῆς. Τόν ἄρτον ἡμῶν τόν ἐπιούσιον δός ἡμῖν σήμερον· καί ἄφες ἡμῖν τά ὀφειλήματα ἡμῶν, ὡς καί ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν· καί μή εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλά ῥῦσαι ἡμᾶς ἀπό τοῦ πονηροῦ.

Ὅτι σοῦ ἐστιν ἡ βασιλεία καί ἡ δύναμις καί ἡ δόξα τοῦ Πατρός καί τοῦ Υἱοῦ καί τοῦ Ἁγίου Πνεύματος, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων.

καί τά Τροπάρια ταῦτα. Ἦχος πλ. β´.
Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς, πάσης γάρ ἀπολογίας ἀποροῦντες, ταύτην Σοι τήν ἱκεσίαν, ὡς Δεσπότῃ, οἱ ἁμαρτωλοί προσφέρομεν, ἐλέησον ἡμᾶς.

Δόξα.
Κύριε ἐλέησον ἡμᾶς, ἐπί Σοί γάρ πεποίθαμεν. Μή ὀργισθῇς ἡμῖν σφόδρα, μηδέ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν. Ἀλλ’ ἐπίβλεψον καί νῦν ὡς εὔσπλαχνος καί λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν. Σύ γάρ εἶ Θεός ἡμῶν καί ἡμεῖς λαός Σου, πάντες ἔργα χειρῶν Σου καί τό ὄνομά Σου ἐπικεκλήμεθα.

Καί νῦν.
Τῆς εὐσπλαχνίας τήν πύλην ἄνοιξον ἡμῖν, εὐλογημένη Θεοτόκε, ἐλπίζοντες εἰς Σέ μή ἀστοχήσομεν, ῥυσθείημεν διά Σοῦ τῶν περιστάσεων· Σύ γάρ ἡ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.

Καὶ τὸ ᾿Απολυτίκιον. Ἦχος δ´. Ταχὺ προκατάλαβε.
Χριστὸν ἀγαπήσασα τῶν ἀγαθῶν τὴν πηγήν, μετῆλθες ὡς ἄσαρκος, θεοπρεπὴν βιοτήν, ὑστέροις ἐν ἔτεσι. Ὅθεν ἐν τῇ σκοτίᾳ, τοῦ παρόντος αἰῶνος, φαίνεις ὡς φωτοβόλος Μεθοδία λυχνία, φωτίζουσα ἐνθέοὺς, τοὺς πίστει τιμῶντας σε.

Ἐκτενὴς καὶ Ἀπόλυσις, μεθ’ ἣν ψάλλομεν τα ἑξῆς

Ἦχος β´. Ὅτε ἐκ τοῦ ξύλου.
Δεῦτε φιλοσίων οἱ χοροί, τὴν ἐν ταῖς ἐσχάταις ἡμέραις. ἀσκητικῇ βιοτῇ, τὸν Χριστὸν δοξάσασα, πάντες τιμήσωμεν, πρὸς αὐτὴν ἀνακράζοντες, σεμνὴ Μεθοδία. ἐκτενῶς ἱκέτευε. τὸν Πολυεύσπλαχνον. δοῦναι τὴν εἰρήνην τῷ κόσμῳ,

καὶ ἁμαρτημάτων τὴν λύσιν, τοῖς ἀνακειμένοις τῇ πρεσβείᾳ σου.

῞Ετερον. ῏Ηχος ὁ αὐτός. Οἶκος τοῦ ᾿Εφραθᾶ.
Λύτρωσαι δυσχερειῶν, ᾿῾Οσία τῶν ἐν βίῳ᾿ τῇ θείᾳ σου πρεσβείᾳ. ἡμᾶς τοὺς εὐφημοῦντας, τὴν θείαν πολιτείαν σου.

Δέσποινα πρόσδεξαι τὰς δεήσεις τῶν δούλων Σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδα μου, εἰς Σέ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην Σου.

Δί’ εὐχῶν τῶν ἁγίων πατέρων ἡμῶν,
Κύριε Ἰησοῦ Χριστέ ὁ Θεός, ἐλέησον καί σῶσον ἡμᾶς.
Ἀμήν.

Δίστιχον·
Μεθοδία καύχημα τῶν Κιμωλίων
Κύριλλον λύτρωσαι κακῶν παντοίων.